Σχόλια. Ἵνα γνῷς] ἵνα διαγνῷς καὶ διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσι καὶ κατηφεῖς. οἱ δὲ τὰ εἰρηνικὰ, ἱλαροί. Τίλλονθ' A ἑαυτόν.] τίλλειν ἑαυτὸν λέγεται, τὸ ταῖς ἑαυτοῦ χερσὶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. προσφορώτατα γοῦν λοφοποιὸν τῇ κεφαλῇ, καὶ ταῖς θριξὶν αὐτῶν ἐποίησε λαβόμενον. ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστὶ σκεπαστήριον.

Τρ. Ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται;
Καὶ τὸν δορυξόον οἷον ἐσκιμάλισεν;
Ερ. Ἴθι νῦν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
Τρ. Ἀκούετε λεῴ, τοὺς γεωργοὺς ἀπιέναι
Τὰ γεωργικὰ σκεύη λαβόντας, ἐς ἀγρὸν
Ὡς τάχιστ' ἄνευ δορατίου, καὶ ξίφους, κἀκοντίου,
Ὡς ἅπαντ' ἤδη 'στι μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
Ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
Χο. Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
Ἀσμένος γ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους,
Τάς τε συκᾶς ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος;
Ἀσπάσασθαι θυμὸς ἡμῖν γὰρ ἐπὶ πολλοστῷ χρόνῳ.
Τρυ. Νῦν μὲν οὖν ὦνδρες προσευξώμεσθα πρῶτον τῇ θεῷ.
Ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γοργόνας,
Εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
Ἐμπολήσαντες τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
Ερ. Ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται,
Καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία.
Τρ. Νὴ τὸν Δί', ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἂν ἐξοπλισμένη,
Αἵ τε θρίνακες, διαστίλβουσι πρὸς τὸν ἥλιον,
Ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον,
Ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ κἀὐτὸς ἐλθεῖν εἰς ἀγρὸν,
Καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γῄδιον.

*TR. Vide ille quanto gaudio diffunditur,*
*Notátque digito bastarium falcarius.*
MER. *Abi, colonos iam iube discedere.*
B *Audite populus, iam coloni agros petant,*
*Et arma secum perferant agrestia*
*Quam citissumè absque tragula, sparo, ense, spiculo:*
*Quippe iam sunt plena cuncta pacis antiquæ bonis.*
*Ergo in agrũ quisque cedat, diísque ouans grates agat.*
CH. *O dies optata iustis, & colonis plurimum,*
C *Quàm lubenter intuens vites salutatas volo*
*Atque ficus quas ego seui in iuuenta primula,*
*Vnde vos saluere tanto nunc iubemus tempore.*
*TR. Nunc quidem laudare sit fas numen imprimis Deæ,*
*Virginis, per quam facessunt caßides & gorgones:*
D *Mox adibit quisque lætus villulam & domum suam,*
*Quò feremus nescio quid optimi salsaminis.*
*MER. Quàm decens ô Conse turma rusticorũ! quàm cita,*
*Crebra, pilata instar offæ & symbolaris cœnulæ.*
*TRY. Nempe pulchra malleus res per Iouem armatus probè:*
E *En refulgent ventilabra solis ad purum diem:*
*Ista quinis semina ordinésque facile interserat,*
*Quin & ipsum me cupido cœpit agri maxima.*
*Rusculum incultúmque tamdiu ligone vertere.*

Σχόλια. Ἐσκιμάλισε.] τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας, ἐφυβρίζει. ἢ κατεδακτύλισε. σκιμαλίσαι γάρ ἐστι κυρίως, τὸ, τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὄρνεου βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες, δείξωσιν αὐτῷ.

Bisetus. Ἀνεῖπε] ἀνειπεῖν κυρίως τὸ διὰ κήρυκος εἰπεῖν, ἀγορεύειν, ἀνακηρύττειν. Σ. F

Σχόλια. Ὡς τάχιστ' ἄνευ δορατίου.] παρὰ τὰ τοῦ πολέμου κακά. πρώην οὐδεὶς δίχα σιδήρου ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος τοὺς πολεμίους. νῦν δὲ εἰρήνης οὔσης, παρακελεύεται μὴ βαστάσαι σίδηρον. Σαπρᾶς] παλαιᾶς καὶ ἀρχαίας. κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον, τὸ σεσηπὸς διὰ τὸν χρόνον. χρῶνται δὲ αὐτῷ, καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ. Παιωνίσας.] εὐξάμενος τοῖς θεοῖς. ὁμολογήσας χάριν. παιὰν γάρ ἐστιν ὕμνος εὐχαριστήριος. G

CHR. Ἐσκιμάλισεν] Auium curatoribus vox propria, qui digitũ (paruũ puta) immittunt in auiũ culũ, vt olim solebant Deliaci Gallos castraturi, aut gallinarũ partiones exploraturi. Hic est καταδακτυλίζειν & ἐφυβρίζειν. i. contumeliosè irridere, & in cōtemptũ, digitũ, vt aiunt, mediũ ostēdere, qui infamis vulgò existimatur. Id Gallico idiotismo dicitur, *Faire la Figue*. Quáquã in obscæniorẽ sensum id verbi olim detorserunt, nã id etiã erat σιφνιάζειν, propterea quòd gẽs illa puerorũ amoribus dedita, διὰ δακτυλίου ἐσκιμάλιζεν & digito femora cōtrectabat, vt λεσβιάζειν, os præbere πρὸς τὴν μόλυνσιν. Apud Scholiastẽ pro μέσῳ δακτύλῳ, legebã μικρῷ, vt in fabula Acharnensiũ, vbi dixit de Euripide ῥηματίοις σκιμαλίσω, quanquã mediũ, vt diximus, digitũ intendebant quoties aliquem subsannantes cōtemnebant. Ἀκούετε λεῴ] Sic etiam Edicta quæ præco publicabat incipiebant, & in sacris vsurpabãt, atque extẽplò λαοῖς ἄφεσις, vnde missionis, vel missæ nomẽ, ne necesse habeamus à vetustiore lingua longius & curiosius arcessere. Εἰρήνης σαπρᾶς] Propriè σαπρὸν dicitur, quod tẽporis diuturnitate putredinẽ quæsiuit: hic pro vetusto & antiquo dixit in quo notat belli diuturnitatẽ, vel cũ paulò post ait, se iã senẽ reuisurũ ficus quas iuuenis plantauerit. παιωνίζειν autẽ est gratiarũ erga deos